www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΣΕΡΑΦΕΙΜ,
# ΤΟΝ ΕΝ ΣΑΡΩΦ ΑΣΚΗΣΑΝΤΑ

Ποιηθεὶς ἐν ῾Αγίῳ ῎Ορει τοῦ ῎Αθωνος

* 1994 *

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΣΕΡΑΦΕΙΜ ΤΟΝ ΕΝ ΣΑΡΩΦ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου.

Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*τό, Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

*Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Τὸν φλογοφόρον ἀσκητὴν τοῦ Κυρίου, ἀνευφημοῦντες οἱ πιστοὶ ἐκβοῶμεν· τὴν τοῦ Χριστοῦ ἀγάπησιν ἐγκαίνισον ψυχαῖς, Πάτερ ἀγγελώνυμε, Σεραφεὶμ θεοφόρε, καὶ Ἁγίου Πνεύματος, πάντας πλῆσον εὐχαῖς σου, διδοὺς ἡμῖν τοῦ Πάσχα τὴν χαράν, τῶν Ὀρθοδόξων, γλυκύτατον καύχημα.

*Δόξα. Καὶ νῦν.* Θεοτοκίον, ὅμοιον.

Σὺν ἐκλεκτοῖς σου ἀριθμήσασα Κόρη, τὸν ἐν ἐρήμῳ τοῦ Σαρὼφ θεοτρόπως, ὑπερφυῶς δοξάσαντα Υἱόν σου καὶ Θεόν, Σεραφεὶμ κατάλεξον καὶ ἡμᾶς Θεοτόκε, παρ᾽ ἀξίαν θέλοντας, ἀπολαῦσαι τῆς δόξης, ἣν χορηγεῖς τοῖς πόθῳ σου πολλῷ, Ὄνομα Μῆτερ, φωνοῦσιν ἑκάστοτε.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

www.tezaurliturgic.ro


Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**

*«Πῦρ ἡμῖν ἄναψον Σεραφεὶμ Παρακλήτου Ἀ(θανάσιος)»*

*Ὠιδὴ α΄. Ἦχος πλ.δ΄. Ἁρματηλάτην Φαραώ.*

Πεπυρωμένος τῷ Ἁγίῳ Πνεύματι κατὰ τὴν κλῆσίν σου, ψυχρανθέντας πάτερ, Σεραφεὶμ τοῖς πταίσμασι, τίμια ἐναπόδειξον ἡμᾶς Πνεύματος σκεύη, ὡς ἀπαιτεῖ ἀγγελώνυμε, τῶν χριστιανῶν τὸ πολίτευμα.

Υἱοθεσίας θεϊκῆς τὸ ἔνδυμα, ἀπημαυρώσαμεν, ὅθεν ὡς φωτός σοι οἴκῳ καταφεύγομεν, ὅπως ἀκτῖσιν Ὅσιε, πρεσβειῶν σου στιλβώσῃς, ἡμῶν τὰ θεῖα γνωρίσματα, καὶ Χριστῷ ἑνώσῃς μακάριε.

Ῥευμάτων θείων ποταμὸς γενόμενος, χάριτι Πνεύματος, πάθη ἀποπλύνεις τῶν ψυχῶν τρισόλβιε, διὸ καὶ τοὺς αἰτοῦντάς σου, ἀποκάθαρον μάκαρ, πολλὴν γὰρ ἔχεις τὴν δύναμιν, ὡς Θεὸς μεθέξει γενόμενος.

*Θεοτοκίον*

www.tezaurliturgic.ro


Ἡ οὐρανίων στρατιῶν Βασίλισσα, ὅτε ἠσθένησας, Σεραφεὶμ παμμάκαρ, ὑγιᾶ κατέστησεν, εἰκόνα ἀσπασθέντα σε, τὴν Αὐτῆς καὶ πλημμύρᾳ, τὸν ὑετὸν προοιμίασε, θείων χαρισμάτων σου Ὅσιε.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Μητρικῇ ὁδηγίᾳ ἀπὸ παιδὸς Ὅσιε, μόνον τὸν Θεὸν ἐξεζήτεις, ὡς σὸν θησαύρισμα, ὅθεν ὡς ἔμπορος, τὸν νοητὸν Μαργαρίτην, ἐφευρὼν ἠγόρασας, Ὅν ἡμῖν δώρησαι.

Ἱερῶν σου γονέων, συνεχιστὴς γέγονας, ἄριστος ψυχῶν ναοδόμος, ἃς κατεκόσμησας, σοφοῖς διδάγμασι, καὶ φιλοθέοις ἐννοίαις, μεθ᾽ ὧν ναοποίησον, τοὺς ἀνυμνοῦντάς σε.

Νικηθεὶς τῷ Δεσπότῃ, ὡς ψαλμικὴ ἔλαφος, ἔδραμες Σαρὼφ ἐν ἐρήμῳ, σταυρὸν δεξάμενος, ὡς καταθύμιον, παρὰ μητρὸς ἀγαθῆς σου, ὅν φιλεῖν ἀξίωσον, ἡμᾶς πρεσβείαις σου.

*Θεοτοκίον*

Ἅπαντά σου τὸν βίον, ὁλοτελῶς δέδωκας, τῇ Μητρὶ Κυρίου τρισμάκαρ, Ταύτης γενόμενος, οἰκεῖος Ὅσιε, καθάπερ εἴρηκεν Αὕτη, Ἧι ἡμᾶς οἰκείωσον, ταῖς ἱκεσίαις σου.

Διάσωσον, τοὺς ἐκ καρδίας σὲ ἀνυμνοῦντας, θεοφόρε Σεραφεὶμ Σαρὼφ ἐγκαλλώπισμα, καὶ δώρησαι εὐχαῖς σεπταῖς, τὴν τοῦ Πνεύματος χάριν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐπίβλεψον, ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.*

Πυρίπνους φωστήρ, ἐδείχθης ὡς ἀσώματος, τὴν ὕλην σαρκός, σοφῶς ἀναχωνεύσας σου, καὶ Χριστὸν ἐδόξασας, Σεραφεὶμ ἀγγελομίμητε, ἐκδιδάσκων σαφῶς ἡμῖν, τὴν κτῆσιν τοῦ Πνεύματος τῷ βίῳ σου.

*Ὠιδὴ δ'. Σύ μου ἰσχύς, Κύριε.*

Νέας ζωῆς, σὺ ἀναπνέων μακάριε, τὸν ἀέρα γέγονας ἰσάγγελος, ὅθεν εἰσδὺς ἔνδον οὐρανοῦ, ἔσχες κατὰ φύσιν,τὰ ὑπὲρ φύσιν θεάματα, διὸ καὶ ἡμᾶς Πάτερ, ἀξιώσαις εὐχαῖς σου, θεωρεῖν κατ᾽ ἐνώπιον Κύριον.

Ἀναδιφῶν, τῶν οὐρανίων τὴν ἔννοιαν, καὶ στοχεύων μόνον εἰς ἀγάπησιν, τοῦ Ἰησοῦ, ἔρημον ποθεῖς, καὶ καταλαμβάνεις, τοὺς παλαιοὺς ἐκμιμούμενος, Πατέρας θεοφόρε, ὧν τὸν ζῆλον τὸν θεῖον, καὶ ἡμῖν ἐγκαινίσαις πρεσβείαις σου.

Ψυχῆς τρυφήν, ὁ εὐχομένῳ δωρούμενος, παμπλουσίως Πάτερ σοι δεδώρηται εὐχὴν Χριστὸς, ὡς ὑπὲρ παντός, κόσμου εὐχομένῳ, τῇ φλογοφόρῳ ἀγάπῃ σου, διὸ τῶν αἰτουμένων, τὰς δεήσεις ἐκπλήρου, ὡς ἑκάστῳ συμφέρει μακάριε.

*Θεοτοκίον*

www.tezaurliturgic.ro



Ὅλην ζωήν, ὁ ἀθλητής σοι ἀνέθετο, ὅτε Κόρη πόθῳ ἀνεχώρησεν, ἐν τῇ ἐρήμῳ καὶ τὸν σταυρόν, ἡσυχίας ἦρε, τὸν σὸν Υἱὸν ἐκθηρώμενος, ὅθεν ὡς συμπαρέστης, τούτῳ Μῆτερ ἐν πᾶσι, καὶ ἡμῖν συμπαρίστασο πάντοτε.

*Ὠιδὴ ε΄. Ἵνα τί με ἀπώσω.*

Νοερᾶς ἐργασίας, ἔσχηκας ἀλείπτας σου ῾Αγίων τάγματα, ἄλλων μὲν τὸν ζῆλον, καὶ ἑτέρων μιμούμενος ἄσκησιν, ὅθεν κοινωνίας, τούτων ἐγένου κληρονόμος, ἐν ᾗ τόπον ἡμῖν Πάτερ χάρισαι.

Στενὴν ὥδευσας τρίβον, ἐκ τῆς πλησμονῆς θείας ἐφέσεως, σιωπὴν ἐν πᾶσιν, ἐξασκήσας ἐν πλείστοις τοῖς ἔτεσι, μόνον τῷ Κυρίῳ, ἀδολεσχῶν Σεραφεὶμ θεῖε, τοῦ αἰῶνος τοῦ μέλλοντος ἄνθρωπε.

Ἐπὶ πέτραν σοὺς πόδας, ἔστησας Κυρίου κατὰ τὸ λόγιον, ὅθεν τῶν χιλίων, ἡμερῶν καὶ νυκτῶν τὸ κατόρθωμα, τῆς εὐχῆς εὐκόλως, εἰς πέρας ἤγαγες θεόφρον, ὅθεν ταύτην ἡμῖν Πάτερ δίδαξον.

*Θεοτοκίον*

Ῥῶσιν ἔχων τὴν ἄνω, ἤσκησε νηστείαν ὑπερθαύμαστον, ἅπασι διδάσκων, τὴν ἐγκράτειαν Κόρη ὁ δοῦλός σου, ἥν ἡμῖν χαρίσαις, σύμβιον ζείδωρον εὐχαῖς σου, ὅπως ὕλης ὀφθῶμεν ἀνώτεροι.

*Ὠιδὴ ϛ΄. Τὴν δέησιν ἐκχεῶ.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἁγνείαν σου, οἱ πιστοὶ θαυμάζοντες, πρὸς αὐτὴν σῇ εὐλογίᾳ ἐχώρουν, ὅθεν Χριστῷ, φιλοάγνων ὑπάρξεις, ὡς προσφορὰν προσενήνοχας ἄϋλον, μεθ᾿ ὧν μνημόνευε ἡμῶν, Σεραφεὶμ τῶν ἁγνείαν ποθούντων σου.

Φιλόψυχε, Σεραφεὶμ ἠγάπησας, τοῦ Δεσπότου κτίσιν θείᾳ ἀγάπῃ, καὶ ὡς ᾿Αδάμ, πρὸ τῆς πτώσεως ὤφθης, ὅθεν καὶ ἄρκτον χερσί σου ἐξέτρεφες, δεόμεθά σου τῶν ψυχῶν, τὰ θηρία ἡμῖν καθυπόταξον.

Ἐθραύσθη σου, τὸ πηλῶδες Ὅσιε, ἐπιθέσει τῶν ληστῶν θεῖον ἄγγος, ὅμως Χριστός, ἐπαυξήσας τὴν Χάριν, θαυματουργίαις πολλαῖς σε ἐκόσμησε, διὸ βοῶμεν τῶν ψυχῶν, τοὺς ληστὰς ἡμῶν πόρρω ἐκδίωξον.

*Θεοτοκίον*

Ἰάτραιναν, τὴν Κυρίαν Δέσποιναν, κατεπλούτησας ἀδάπανον Πάτερ, Ἥ θαυμαστῶς, συνοδείᾳ ῾Αγίων, κατ᾿ ἐπανάληψιν σὲ ἐπεσκέψατο, ἱκέτευε Ταύτην θερμῶς, ὅπως νόσους ἡμῶν ἐξιάσηται.

Διάσωσον, τοὺς ἐκ καρδίας σε ἀνυμνοῦντας, θεοφόρε Σεραφεὶμ Σαρὼφ ἐγκαλλώπισμα, καὶ δώρησαι εὐχαῖς σεπταῖς, τὴν τοῦ Πνεύματος χάριν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Μοναζόντων ἐδείχθης τὸ καύχημα, καὶ μιγάδων θερμὸν καταφύγιον, ὅθεν Πάτερ, ὡς πρεσβευτῇ σοι χρώμενοι Θεῷ, φωνὰς ἐξαφίεμέν σοι νῦν, ἀπὸ καρδίας νοεράς, καὶ συμφώνως σοι κράζομεν· Πνεύματος δὸς τὴν κτῆσιν, ὅπως Αὐτοῦ πληρῶμεν, τὰς ζωηφόρους ἐντολάς, Σεραφεὶμ Σαρὼφ ἀγλάϊσμα.

Προκείμενον· Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ.

Στίχος. *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.*

## ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλῦψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

*Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.*
*Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.*

Στίχ. *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

*καὶ τὸ προσόμοιον*

*Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.*

Μέγας μάρτυς γέγονας, τῶν δωρεῶν Παρακλήτου, Σεραφεὶμ τρισόλβιε, ἅς Δεσπότης δίδωσι τοῖς φυλάττουσι, τὰ Αὐτοῦ ἐντάλματα, καθαρᾷ καρδίᾳ, καὶ ποθοῦσιν ἐξομοίωσιν, πρὸς τὸ Ἀρχέτυπον, ὡς ἐν ἀληθείᾳ ἐπήγγελται. Ὅθεν ἡμῶν τὴν αἴτησιν, μὴ παρίδῃς Πάτερ ἀτέλεστον, ἀλλὰ σαῖς πρεσβείαις, οἰκείωσον Χριστῷ τῷ ποθητῷ, ναοὺς ποιῶν Θείου Πνεύματος, εἰς ζωὴν αἰώνιον.

*Ὠιδὴ ζ΄. Παῖδες Ἑβραίων.*

Μνήμην Κυρίου περιφέρων, ἐπωνόμασας Ἁγίων Τόπων κλήσει, τῆς ἐρήμου Σαρώφ, τοὺς χώρους θεοφόρε, ὅθεν ἡμᾶς ἀξίωσον, πολιτεύεσθαι ἁγίως.

Πένθους ἐργάτης ζωηφόρου, ὢν μακάριε, Ἀνάστασιν ἐφίλεις, διὸ Πάσχα χαράν, ἐγκαίνισον καρδίαις, ὅπως Χριστὸν δοξάζωμεν, Ἀναστάντα εἰς αἰῶνας.

Ἄλλου αἰῶνος σὺ πολίτης, πρὸς ταῖς ἄλλαις σου ἀσκήσεσιν εἰργάσω, σιωπὴν παντελῆ καὶ σχολασμὸν Κυρίῳ, διὸ ἡμᾶς ἐκδίδαξον, σιωπᾶν χριστοφιλήτως.

*Θεοτοκίον*

Ῥεύματα ἰαματοφόρα, Μῆτερ δέδωκας σὺν θείῳ Θεολόγῳ, τῷ πτωχῷ Σεραφείμ, εἰς ἀσθενούντων ῥῶσιν, καὶ ψαλμικὰ ὡς ὕδατα, τὴν παράκλησιν ἐν λόγοις.

*Ὠιδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ.*

Ἀφθαρσίας στολὴν ἐπενεδύθης, θείᾳ Χάριτι τοῦ Παρακλήτου Πάτερ, ἥν σκοπὸν τῆς ζωῆς, ἐδίδαξας ἀνθρώπων, ἧς Χάριτος ἀξίωσον, τοὺς τιμῶντάς σε ἐν ὕμνοις.

Καὶ ἐν λόγοις γλυκύτατος ὑπάρχεις, καὶ ἐν ἔργοις παμφίλτατος τοῖς πᾶσι, ὁ Χριστὸς γὰρ ἐν σοί, καὶ φθέγγεται καὶ πράττει, Ὅν ἐξιλέου Ὅσιε, τοῖς τὸν βίον σου ποθοῦσι.

Ληρῳδοῦσιν οἱ λέγοντες μὴ εἶναι, ἁγιότητα προσεφικτὴν ἀνθρώποις, καὶ γὰρ σὺ Σεραφείμ, ἐμπράκτως καταισχύνεις, τοὺς τὰ τοιαῦτα φάσκοντας, ὧν μερίδος λύτρωσαί με.

*Θεοτοκίον*

Ἡ παρθένος μονάστρια ἐξέστη, ὅτε εἶδέ σε Παρθένε πλήρη δόξης, σὺν ῾Αγίων χορῷ, τῷ Σεραφεὶμ ὀφθεῖσαν, μεθ᾽ ὧν σοι κλίνω Δέσποινα, ἀσθενοῦς ψυχῆς μου γόνυ.

*Ὠιδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.*

Τὸ τέλος ἐπιγείου σου βιοτῆς, ὑπερθαύμαστον πέφυκεν Ὅσιε καὶ ποθητόν, τοῖς ἐν ὕμνοις πόθου πανευλαβοῦς, τιμῶσι πολιτείαν σου, ὅθεν καταξίωσον ἐν εὐχῇ, ψυχὰς Κυρίῳ δοῦναι, πυρὶ θείας ἀγάπης, ἐξηγνισμένας ταῖς πρεσβείαις σου.

Ὁ λόγος ἐπληρώθη Πάτερ ὁ σός, ὅτι Πάσχα ἐν θέρει ὀφθήσεται ἐπὶ τῇ σῇ, δόξῃ τῆς σεπτῆς ἀνακομιδῆς, ὅθεν τὴν χάριν δώρησαι, τῆς σῆς πασχαλίου διαγωγῆς, ἡμῖν ἀνίκμοις οὖσι, τῷ θέρει ἁμαρτίας, ὅπως δοξάζωμεν τὴν μνήμην σου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὑφάνας ἱστουργίᾳ τῇ μυστικῇ, νῦν ποδήρη φορεῖς ἁγιότητος, κόσμου παντός, θεῖε Χριστευχέτα ἐν οὐρανοῖς, μετὰ τῶν συνωνύμων σοι καὶ τῶν ἐπιλοίπων ἀγγελικῶν, ταγμάτων φλογοφόρε, ἔνθεν τὸ δυσειδές μου, ἐξ ἁμαρτίας φλέξον ἔνδυμα.

*Θεοτοκίον*

Ἀξίωσόν με Δέσποινα ἀγαθή, τελειῶσαι τοῦ βίου τὸ στάδιον πρὸ τῆς σεπτῆς, καὶ προσκυνητῆς μοι θείας μορφῆς, τοῦ παγκαλλοῦς Προσώπου σου, ὡς τὸν πολυόπτην σου Σεραφείμ· γνωρίζω ἀναιδές μου, τὸ αἴτημα ὑπάρχει, ἀλλὰ καὶ οἶδα τὴν ἀγάπην σου.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, Σὲ μεγαλύνομεν.

*καὶ τὰ Μεγαλυνάρια*
(τὰ δύο πρῶτα τοῦ Συναξαριστοῦ)

Χαίροις τῆς Ρωσίας γόνος λαμπρός, τέκνον τῆς ἐρήμου, μοναζόντων ὑπογραμμός, Πνεύματος τὴν κτῆσιν, σκοπὸν ζωῆς κηρύττων, ὦ Σεραφεὶμ τοῦ Σάρωφ, ἄνθος μυρίπνοον.

Ὅλος ἀνακείμενος τῷ Χριστῷ, χαρίτων τῶν θείων, ἀναδέδειξαι θησαυρός, θαύμασι καὶ λόγοις, καὶ θείαις ὑποθήκαις, ὦ Σεραφεὶμ παμμάκαρ, φωτίζων ἅπαντας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Πνεύματι Ἁγίῳ ἀνακραθείς, Σεραφεὶμ θεόφρον, καταυγάζεις σῇ βιοτῇ, κόσμον τὸν παρόντα, καὶ ἐκδιδάσκεις πάντας, τούτου διαρραγῆναι, ἀΰλοις πτέρυξι.

Θλίψεσι βαρούμενοι τὰς ψυχάς, τὴν χαρὰν αἰτοῦμεν, Ἀναστάσεως τοῦ Χριστοῦ, Σεραφεὶμ θεόφρον, δοθῆναι σαῖς πρεσβείαις, οἱ τὴν σεπτήν σου μνήμην, πόθῳ γεραίροντες

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον.* Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.

*Εἰς τὴν Ἀπόλυσιν, τὸ προσόμοιον*
*Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε.*

Πνεύματος Ἁγίου τῷ πυρί, ὁλοκαυτωθεὶς Πάτερ θεῖε ὥσπερ ἀσώματος, ἄγγελος ἐβίωσας Σεραφεὶμ ὅσιε, τὴν ὁδὸν τῆς θεώσεως, σαφῶς ἐκδιδάσκων, τοῖς ἐκμελετῶσί σου ζωὴν χριστόληπτον, ὅθεν μεταποίησον τάχει, νοῦν ἡμῶν καὶ φρόνημα ὅπως, ἐξομοιωθῶμέν σοι τρισόλβιε.

**Στίχοι**

*Εὔχου, Σεραφεὶμ, Παρακλήτῳ τῷ ἄνω,*
*πλουσίως οἰκεῖν Παρακλήτῳ τῷ κάτω.*